cez-vous de doubler la vigueur de votre corps; vous aussi hommes mûrs, faites chacun votre possible pour sauver la ville, les autels des dieux nationaux, toujours maintenus en leurs honneurs; vos enfants; cette terre, votre mère, votre chère nourrice. — Au début de la vie, alors que vous vous traîniez sur son sol si bon pour vous, si généreux à votre enfance, dont seule elle avait la charge, elle se préparait par là des habitants dévoués à porter le bouclier, à suffire à cette œuvre du patriotisme. — Sans doute jusqu'à présent le ciel est pour nous. Tout le temps déjà qu'a duré ce siège, heureuse dans la plupart des épreuves a été, grâce aux dieux, la guerre pour les Thébains. Mais aujourd'hui il a parlé, le devin, ce pâtre des oiseaux sacrés, qui, pour démêler l'avenir, se passe de la lumière des yeux, se contentant, en son art infaillible, de prêter aux chanteurs ailés une oreille exercée. Or, l'arbitre en ces sortes d'oracles annonce qu'un assaut général des Achéens sera tenté de nuit

βλάστημον σώματος,
ἔχοντά τε ὥραν,
ὥς τις ἕκαστος ἐμπρεπὴς,
ἀρήγειν πόλει τε
καὶ βωμοῖσι θεῶν ἐγχωρίων,
μή ποτε τιμὰς
ἐξαλειφθῆναι,
τέκνοις τε,
γῇ τε μητρὶ,
τροφῷ φιλτάτῃ·
ἡ γὰρ πανδοκοῦσα
ἅπαντα ὄτλον παιδείας,
ἐθρέψατο νέους ἕρποντας
πέδῳ εὐμενεῖ,
οἰκιστῆρας ἀσπιδηφόρους,
ὅπως γένοισθε πιστοὶ
πρὸς χρέος τόδε.
Καὶ νῦν μὲν
ἐς τόδε ἦμαρ
θεὸς ῥέπει εὖ·
πυργηρουμένοις γὰρ
ἤδη τόνδε χρόνον
πόλεμος κυρεῖ τὰ πλείω
καλῶς ἐκ θεῶν.
Νῦν δὲ,
ὡς φησιν ὁ μάντις,
βοτὴρ οἰωνῶν,
νωμῶν ἐν ὠσὶ
καὶ φρεσὶν
δίχα φάους
ὄρνιθας χρηστηρίους
τέχνῃ ἀψευδεῖ·
οὗτος δεσπότης
τοιῶνδε μαντευμάτων
λέγει προσβολὴν
Ἀχαιΐδα
μεγίστην
νυκτηγορεῖσθαι,
καὶ ἐπιβουλεύειν πόλει.

la croissance de *son* corps,
et celui qui a la-force-de-l'âge,
comme un chacun *est* convenable,
défendre et la ville,
et les autels des dieux du-pays,
pour que jamais *leurs* honneurs
ne soient détruits,
et *défendre ses* enfants,
et la terre *sa* mère,
nourrice très-chère :
car elle prenant-entièrement
toute la peine de l'éducation,
a nourri *vous* jeunes rampant
sur *son* sol bienveillant,
habitants porte-boucliers,
pour que vous fussiez fidèles
pour cette nécessité-ci.
Et maintenant d'une part
jusqu'à ce jour-ci
un dieu incline favorablement :
car *pour nous* assiégés
déjà pendant ce-temps-ci
la guerre se-trouve en général
favorablement de-la-part des dieux.
Maintenant, d'autre part,
comme dit le devin,
nourrisseur d'oiseaux,
agitant dans *ses* oreilles
et dans *son* esprit
sans la lumière-du-jour
les oiseaux fatidiques ;
par un art infaillible,
ce maître
de tels oracles
dit une attaque
achéenne
très-grande
être nuitamment-délibérée
et menacer la ville :

Ἀλλ' ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων
ὁρμᾶσθε· πάντες, σοῦσθε σὺν παντευχίᾳ,
πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασιν
πύργων στάθητε, καὶ πυλῶν ἐπ' ἐξόδοις
μίμνοντες εὐθαρσεῖτε, μηδ' ἐπηλύδων
ταρβεῖτ' ἄγαν ὅμιλον· εὖ τελεῖ[1] θεός.
Σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ
ἔπεμψα, τοὺς πέποιθα μὴ ματᾶν ὁδῷ·
καὶ τῶνδ' ἀκούσας οὔ τι μὴ ληφθῶ δόλῳ.

ΑΓΓΕΛΟΣ.

Ἐτεόκλεες, φέριστε Καδμείων ἄναξ,
ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων,
αὐτὸς κατόπτης δ' εἶμ' ἐγὼ τῶν πραγμάτων.
Ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται
ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου,
Ἄρην, Ἐνυὼ[2], καὶ φιλαίματον Φόβον
ὠρκωμότησαν ἢ πόλει κατασκαφὰς
θέντες λαπάξειν ἄστυ Καδμείων βίᾳ,

pour surprendre la ville. Donc aux créneaux, aux portes des remparts élancez-vous tous. Massés sur les parapets, debout sur les charpentes des tours, aux débouchés des portes serrés et immobiles, courage, et ne vous souciez du nombre des assaillants; les dieux sont avec nous. Des espions éclaireront les mouvements de l'ennemi. J'en ai envoyé, et ils ne reviendront pas, j'ai tout lieu d'y compter, sans d'utiles renseignements. Leurs rapports me mettront en garde contre la ruse.

LE MESSAGER, *arrivant près du roi*. Étéocle, chef souverain des Cadméens, je viens de là-bas, avec d'exactes nouvelles de l'ennemi. Moi-même, de mes yeux, j'ai vu toutes choses. — Ils étaient sept, sept héros, sept farouches chefs de légions. D'un taureau égorgé le sang tombe en un noir bouclier. Tous plongent la main dans l'écume fumante. Par Arès, par Ényo, par celle qui se plaît au carnage, par la Terreur, ils jurent à la ville de mettre la sape, d'éventrer la citadelle de Cadmos, ou de

Ἀλλὰ πάντες ὁρμᾶσθε	Mais tous élancez-vous
ἔς τε ἐπάλξεις	et vers les créneaux,
καὶ πύλας πυργωμάτων·	et *vers* les portes des tours ;
σοῦσθε	précipitez-vous
σὺν παντευχίᾳ,	avec une armure-complète,
πληροῦτε θωρακεῖα,	remplissez les parapets,
καὶ στάθητε	et tenez-vous-debout
ἐπὶ σέλμασιν πύργων,	sur les charpentes des tours,
καὶ μίμνοντες ἐπὶ ἐξόδοις πυλῶν	et restant aux issues des portes
εὐθαρσεῖτε,	ayez-bon-courage,
μηδὲ ταρβεῖτε ἄγαν	et-ne craignez pas trop
ὄμιλον ἐπηλύδων·	une foule d'étrangers ;
θεὸς τελεῖ εὖ.	un dieu finira bien *la chose*.
Καὶ ἐγὼ δὲ ἔπεμψα	Et moi d'ailleurs j'ai envoyé
σκοπούς	des éclaireurs
καὶ κατοπτῆρας στρατοῦ,	et des espions de l'armée *ennemie*,
τοὺς πέποιθα	lesquels j'ai-confiance
μὴ ματᾶν ὁδῷ·	ne pas faire-en-vain route ;
καὶ ἀκούσας τῶνδε,	et ayant-entendu ceux-ci
οὔτι μὴ	*il n'est*-pas-*à craindre* que
ληφθῶ δόλῳ.	je sois pris par ruse.
ΑΓΓΕΛΟΣ. Ἐτεόκλεες,	LE MESSAGER. Étéocle,
ἄναξ φέριστε Καδμείων,	prince très-puissant des Cadméens,
ἥκω φέρων σαφῆ	j'arrive apportant certaines
ἐκ στρατοῦ	de l'armée
τὰ ἐκεῖθεν,	les *nouvelles* de-là bas,
ἐγὼ δὲ εἰμὶ αὐτὸς	et je suis moi-même
κατόπτης πραγμάτων.	témoin-oculaire des choses.
Ἑπτὰ γὰρ ἄνδρες,	Car sept hommes,
λοχαγέται θούριοι,	chefs-de-corps valeureux,
ταυροσφαγοῦντες	égorgeant-un-taureau [ches,
ἐς σάκος μελάνδετον,	sur un bouclier aux-noires-atta-
καὶ θιγγάνοντες χερσὶ	et touchant de *leurs* mains
φόνου ταυρείου,	le sang du-taureau,
ὡρκωμότησαν Ἄρην, Ἐνυὼ,	ont juré Arès, Ényo,
καὶ Φόβον φιλαίματον,	et la Terreur amie-du-sang,
ἢ θέντες πόλει κατασκαφὰς	ou portant à la ville la destruction
λαπάξειν βίᾳ	de saccager de force
ἄστυ Καδμείων,	la ville des Cadméens,

ἢ γῆν θανόντες τήνδε φυράσειν φόνῳ·
μνημεῖά θ' αὐτῶν τοῖς τεκοῦσιν ἐς δόμους
πρὸς ἅρμ' Ἀδράστου[1] χερσὶν ἔστεφον, δάκρυ
λείβοντες, οἶκτος δ' οὔτις ἦν διὰ στόμα·
σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων
ἔπνει, λεόντων ὡς Ἄρη δεδορκότων.
Καὶ τῶνδε πίστις οὐκ ὄκνῳ χρονίζεται[2],
κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν
ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον.
Πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως
πυλῶν ἐπ' ἐξόδοισι τάγευσαι τάχος·
ἐγγὺς γὰρ ἤδη πάνοπλος Ἀργείων στρατὸς
χωρεῖ, κονίει, πεδία δ' ἀργηστὴς ἀφρὸς
χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμόνων.
Σὺ δ' ὥστε ναὸς κεδνὸς οἰακοστρόφος
φράξαι πόλισμα, πρὶν καταιγίσαι πνοὰς
Ἄρεως· βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ.

mourir en mêlant leur sang à la poussière de Thèbes. Puis leurs souvenirs à leurs parents dans leur patrie, au char d'Adraste, leurs mains les ont suspendus en guirlandes, de leurs larmes tout trempés. Mais de plainte, aucune en leur bouche. Natures de fer, leur cœur, tout débordant de féroce ardeur, se gonflait, comme au lion dont Arès allume le regard. Et sur-le-champ les actes répondent aux paroles. — On tirait au sort, quand je suis parti, et les dés allaient marquer à chacun d'eux la porte où il conduirait son corps de troupes. Ainsi donc les meilleurs de nos hommes, l'élite de la ville, à l'entrée des portes, place-les, hâte-toi. Car déjà elle s'approche, la masse des Argiens, marche en avant, fait voler la poussière, et la plaine s'émaille de blancs flocons d'écume au souffle des chevaux. Toi, prudent pilote du navire, mets la ville en défense, avant qu'il se déchaîne, le souffle d'Arès. Déjà mugit le flot qui monte, le ter-

ἢ θανόντες
φυράσειν φόνῳ
τήνδε γῆν
Ἔστεφον δὲ
χερσὶν
πρὸς ἅρμα Ἀδράστου
μνημεῖα αὐτῶν
τοῖς τεκοῦσιν
ἐς δόμους,
λείβοντες δάκρυ,
οὔτις δὲ οἶκτος
ἦν ἀνὰ στόμα·
θυμὸς γὰρ σιδηρόφρων
φλέγων ἀνδρείᾳ
ἔπνει, ὡς λεόντων
δεδορκότων Ἄρην.
Καὶ πίστις τῶνδε
οὐ χρονίζεται ὄκνῳ·
ἔλειπον δὲ κληρουμένους,
ὡς ἕκαστος αὐτῶν
λαχὼν πάλῳ
ἄγοι λόχον πρὸς πύλας.
Πρὸς ταῦτα, τάγευσαι τάχος
ἐπὶ ἐξόδοισι πυλῶν
ἄνδρας ἀρίστους
ἐκκρίτους πόλεως·
ἤδη γὰρ στρατὸς Ἀργείων
πάνοπλος
χωρεῖ ἐγγὺς, κονίει,
ἀφρὸς δὲ ἀργῆστὴς
ἐκ πνευμόνων ἱππικῶν
χραίνει πεδία σταλαγμοῖς.
Σὺ δὲ
ὥστε κεδνὸς οἰακοστρόφος
ναὸς
φράξαι πόλισμα,
πρὶν πνοὰς Ἄρεος
καταιγίσαι·
κῦμα γὰρ χερσαῖον στρατοῦ

ou, étant morts,
de tremper de *leur* sang
cette terre-ci. [ronnes
Et ils suspendaient-comme-cou-
de *leurs* mains
au char d'Adraste
des souvenirs d'eux-mêmes
pour *leurs* parents
à porter dans *leurs* demeures,
versant des larmes ;
d'ailleurs aucune plainte
*n'*était à *leur* bouche ;
car *leur* cœur de-fer,
brûlant de courage,
respirait, comme *celui* de lions
regardant Arès (au regard martial).
Et la garantie de ces-choses-ci
n'est pas retardée par l'hésitation ;
mais je *les* ai laissés tirant-au-sort,
comment-chacun d'eux
*l'*ayant obtenu par le jet *des dés*
conduirait *sa* troupe aux portes.
Pour cela, range *en* hâte
aux issues des portes
les hommes les plus braves
choisis de la ville :
car déjà l'armée des Argiens
tout-en-armes
s'avance près, soulève-la-poussière
et une écume blanche
venant des poumons des-chevaux
colore les plaines de gouttes.
Mais toi
comme un prudent pilote
de vaisseau
fortifie la ville,
avant-que les souffles d'Arès
se-précipitent *sur elle ;*
car un flot terrestre d'armée

Καὶ τῶνδε καιρὸν ὅστις ὤκιστος λαβέ·
κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον
ὀφθαλμὸν ἕξω, καὶ σαφηνείᾳ λόγου
εἰδὼς τὰ τῶν θύραθεν ἀβλαβὴς ἔσει.

ΕΤΕΟΚΛΗΣ.

Ὦ Ζεῦ τε καὶ Γῆ καὶ πολισσοῦχοι θεοὶ,
Ἀρά τ' Ἐρινὺς[1] πατρὸς ἡ μεγασθενὴς,
μή μοι πόλιν γε πρεμνόθεν πανώλεθρον
ἐκθαμνίσητε δηάλωτον, Ἑλλάδος
φθόγγον χέουσαν, καὶ δόμους ἐφεστίους·
ἐλευθέραν δὲ γῆν τε καὶ Κάδμου πόλιν
ζυγοῖσι δουλείοισι μήποτε σχεθεῖν·
γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν·
πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει.

restre océan de soldats. A toi de parer à tout le plus promptement possible. — Moi, fidèle à ma consigne, jusqu'au soir l'œil ouvert sur les choses du dehors, je te préviendrai des dispositions prises aux portes de Thèbes, et te garderai ainsi des surprises.

ÉTÉOCLE. O Zeus, ô Terre, ô dieux de la cité, Imprécation, Erinys si redoutable de mon père, ah! cette ville, de fond en comble ruinée, déracinée, ne la livrez pas en proie à nos ennemis. De l'Hellade on y parle la langue; c'est votre demeure, votre foyer. Que la terre d'indépendance, la citadelle de Cadmos, au joug de l'esclavage jamais ne soient courbées. Soyez notre défense. C'est votre cause, je l'espère, aussi bien que la nôtre, que je plaide près de vous. Heureuse, toujours une ville se tourne vers les dieux. (Étéocle rentre dans la Cadmée.)

βοᾷ.
Καὶ λαβὲ καιρὸν
τῶνδε
ὅστις ὤκιστος,
καὶ ἐγὼ τὰ λοιπὰ
ἔξω ὀφθαλμὸν πιστὸν
ἡμεροσκόπον,
καὶ σαφηνείᾳ λόγου
εἰδὼς τὰ
τῶν θύραθεν
ἔσει ἀβλαβής.
ΕΤΕΟΚΛΗΣ. Ὦ Ζεῦ τε καὶ Γῆ
καὶ θεοὶ
πολισσοῦχοι,
Ἀρά τε
ἡ μεγασθενὴς Ἐρινὺς πατρός,
μή γε ἐκθαμνίσητέ μοι
πρεμνόθεν δηάλωτον
πανώλεθρον πόλιν,
χέουσαν
φθόγγον Ἑλλάδος,
καὶ δόμους
ἑφεστίους
μήποτε δὲ σχέθειν
ζυγοῖσι δουλείοισι
γῆν τε ἐλευθέραν
καὶ πόλιν Κάδμου·
γένεσθε δὲ ἀλκή·
ἐλπίζω δὲ λέγειν
ξυνά·
πόλις γὰρ
εὖ πράσσουσα
τίει δαίμονας.

gronde.
Et saisis une occasion
pour repousser ces-*maux*-ci,
celle qui *sera* la plus prompte,
et moi *pour* le reste
j'aurai l'œil fidèle
sentinelle-de-jour,
et par la certitude de *mes* paroles
sachant les choses
de ceux du dehors-des-portes
tu seras sans-dommage
ÉTEOCLE. O et Zeus et Terre
et *vous* dieux
protecteurs-de-la-ville,
et *toi*, malédiction,
la puissante Erinys de *mon* père,
certes ne détruisez pas à moi,
radicalement prise-par-l'ennemi,
une tout-à-fait-malheureuse ville,
qui répand (fait entendre)
la langue de la Grèce,
et des maisons
contenant-des-foyers *consacrés:*
et *je vous prie* de ne jamais re-
sous des jougs serviles [tenir
et *cette* terre libre
et la ville de Cadmos;
et soyez *notre* force;
et je crois dire [*moi:*
des choses communes *à vous et à*
car une ville
faisant bien *ses affaires*(heureuse)
honore les dieux.

II. LES FEMMES DANS UNE VILLE ASSIÉGÉE.

(Vers 78-181.)

ΧΟΡΟΣ.

˘ ˘ ˘ ˘ θρέομαι φοβερὰ μεγάλ' ἄχη·
μεθεῖται στρατός· στρατόπεδον λιπὼν
ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας·
αἰθερία κόνις με πείθει φανεῖσ',
ἄναυδος σαφὴς ἔτυμος ἄγγελος. —
Ἐμὲ δὲ γᾶς ἐμᾶς πεδί' ὁπλόκτυπ' οὖς
ποτιχρίμπτεται βοαῖσιν, βρέμει δ'
ἀμαχέτου δίκαν ὕδατος ὀροτύπου. —
Ἰὼ ἰὼ θεοὶ θεαί τ', ὀρόμενον
κακὸν ἀλεύσατε. —
Ποταῖται βοὰ ὑπὲρ τειχέων·
ὁ λεύκασπις[1] ὄρνυται λαὸς εὐ-
τρεπὴ ἐπὶ πτόλιν διώκων πόδα.
Τίς ἄρα ῥύσεται, τίς ἄρ' ἐπαρκέσει
θεῶν ἢ θεᾶν; —
Πότερα δῆτ' ἐγὼ πάτρια ποτιπέσω
βρέτη δαιμόνων; —
Ἰὼ μάκαρες εὔεδροι, ἀκμάζει βρετέων

II

LE CHŒUR.... j'en crie d'effroi, aux désastreuses catastrophes. Elle s'avance, l'armée; son camp, elle l'a laissé. Il roule, par milliers, ce peuple, bride abattue, l'avant-garde de cavaliers. En l'air la poussière, je la vois tourbillonner, muette, éloquente. Comment ne l'en croire, l'infaillible messager? — Les plaines de ma patrie retentissent du bruit des armes; mes oreilles sont remplies de grandes clameurs. On dirait l'irrésistible flot tonnant de la montagne. Dieux et déesses! du fléau qui s'avance délivrez-nous. — Des cris s'élèvent sur nos murs, les boucliers blancs marchent d'un pas agile vers la cité. Qui donc nous défendra? qui donc y suffira, des dieux ou des déesses? (Le Chœur promène ses regards éplorés sur les diverses représentations des dieux placées dans la Cadmée.) — A laquelle de ces divines effigies m'adresser? O bienheureux, hommes de brillantes demeures, c'est le moment d'embrasser vos statues! Qu'attendons-nous, vic-

II. LES FEMMES DANS UNE VILLE ASSIÉGÉE.

ΧΟΡΟΣ..... θρέομαι	LE CHŒUR.... je déplore
μεγάλα φοβέρα ἄχη·	de grandes *et* effroyables douleurs;
στρατὸς μεθεῖται·	l'armée *ennemie* est lâchée :
λιπὼν στρατόπεδον	ayant quitté *son* camp
ῥεῖ ὅδε πολὺς λεὼς	coule ce nombreux peuple
πρόδρομος ἱππότας·	courant-en-avant à-cheval;
κόνις φανεῖσα	de la poussière ayant paru
αἰθερία	dans-l'air
πείθει με,	persuade moi,
ἄγγελος ἄναυδος	messagère muette
σαφὴς ἔτυμος·	certaine, vraie;
πεδία δὲ ἐμᾶς γᾶς	et les plaines de ma patrie
ὁπλόκτυπα	retentissant-du-bruit-des-armes
ποτιχρίμπτεται ἐμὲ οὖς	atteignent moi à l'oreille
βοαῖσιν,	par des clameurs,
βρέμει δὲ	et frémissent [ble
δίκαν ὕδατος ἀμαχέτου	à la manière d'une onde irrésisti-
ὀροτύπου.	qui-bat-une-montagne.
Ἰὼ ἰὼ	Ah ! ah !
θεοὶ, θεαί τε,	dieux et déesses,
ἀλεύσατε	détournez
κακὸν ὀρόμενον.	le mal qui se-lève.
Βοὰ ποτᾶται	Un cri vole
ὑπὲρ τειχέων·	au-dessus des remparts;
ὁ λαὸς λεύκασπις	le peuple aux-boucliers-blancs
ὄρνυται	s'élance
διώκων ἐπὶ πόλιν	poussant vers la ville
πόδα εὐτρεπῆ.	un pied leste.
Τίς ἄρα ῥύσεται,	Qui donc *nous* sauvera,
τίς ἄρα ἐπαρκέσει,	qui donc *nous* secourra,
θεῶν ἢ θεᾶν;	des dieux ou des déesses?
Πότερα βρέτη δαιμόνων	*Devant* quelles images de dieux
δῆτα ἐγὼ ποτιπέσω;	*faut-il* donc que je-me-prosterne?
Ἰὼ μάκαρες εὔεδροι!	Ah ! bienheureux aux-belles-de-
ἀκμάζει	il-est-temps [meures !

ἔχεσθαι· τί μέλλομεν ἀγάστονοι; —
Ἀκούετ' ἢ οὐκ ἀκούετ' ἀσπίδων κτύπον;
πέπλων καὶ στεφέων,
εἰ μὴ νῦν, πότ' ἀμφὶ λιτάν' ἔξομεν; —
Κτύπον δέδορκα· πάταγος οὐχ ἑνὸς δορός.
Τί ῥέξεις; προδώσεις,
παλαίχθων[1] Ἄρης, τὰν τεὰν γᾶν; —
Ὦ χρυσοπήληξ δαῖμον, ἔπιδ' ἔπιδε πόλιν
τεάν, ἄν ποτ' εὐφιλήταν ἔθου.

Θεοὶ πολίοχοι χθονὸς, ἴθ' ἀθρόοι, [Strophe 1.]
ἴδετε παρθένων ἱκέσιον λόχον
δουλοσύνας ὕπερ.
Κῦμα περὶ πτόλιν δοχμολοφᾶν ἀνδρῶν
καχλάζει πνοαῖς Ἄρεος ὀρόμενον.
Ἀλλ', ὦ Ζεῦ πάτερ
παντελὲς, πάντως
ἄρηξον δαΐων ἅλωσιν. —
Ἀργέϊοι δὲ πόλισμα Κάδμου
κυκλοῦνται· φόβος δ' ἀρήων ὅπλων.
Διὰ δέ τοι γενειάδων ἱππίων
μινύρονται φόνον χαλινοί. —
Ἑπτὰ δ' ἀγάνορες πρέποντες στρατοῦ
δορυσσοΐς σαγαῖς. . . . .
πύλαις ἑπταστόμοις

times gémissantes? — L'entendez-vous, ou ne l'entendez-vous pas, le bruit des boucliers? Des voiles, des couronnes, quand donc, sinon maintenant, en prendre pour prier? — Toujours ce bruit de fer à mes oreilles. Que de lances à se heurter ainsi! (Le Chœur au pied de la statue d'Arès.) — Que vas-tu faire, Arès? Enfant de cette terre sacrée, l'abandonneras-tu, ta vieille mère? Dieu au casque d'or, songe, songe à la ville de toi jusqu'ici tant aimée.

Strophe 1. (Le Chœur, debout, à toutes les statues rangées dans la Cadmée.) — Vous, divinités nationales de la contrée, toutes, oui, toutes, veillez aux jeunes filles, à la troupe plaintive, tremblant d'être esclave. Car de partout vers la ville, le flot des hommes à l'ondoyant cimier bouillonne, gronde, du souffle d'Arès exaspéré. — (Le Chœur prosterné devant la statue de Zeus.) Zeus, notre père, ah! si puissant, ne nous laisse tomber aux mains de l'ennemi. — Ils sont là, ces Argiens; un cercle aux murs de Cadmos. Les armes de Mars m'épouvantent; les mors passés à la bouche des chevaux sonnent la mort. — Puis les sept chefs de l'armée, comme fière-

ἔχεσθαι βρετέων.
Τί μέλλομεν ἀγάστονοι;
Ἀκούετε,
ἢ οὐκ ἀκούετε
κτύπον ἀσπίδων;
Πότε, εἰ μὴ νῦν,
ἔξομεν ἀμφὶ λιτανὰ
πέπλων
καὶ στεφέων;
δέδορκα κτύπον·
πάταγος οὐχ ἑνὸς δορός.
Τί ῥέξεις;
Ἄρης παλαιχθών,
προδώσεις τὰν γᾶν τεάν;
Ὦ δαῖμον χρυσοπήληξ,
ἔπιδε, ἔπιδε πόλιν τεάν,
ἄν ποτε ἔθου εὐφιλήταν.
Θεοὶ πολίοχοι χθονός,
ἴτε ἀθρόοι
ἴδετε λόχον παρθένων
ἱκέσιον
ὑπὲρ δουλοσύνας.
Κῦμα γὰρ
ἀνδρῶν δοχμολοφᾶν
καχλάζει ὀρόμενον
πνοαῖς Ἄρεος
περὶ πτόλιν.
Ἀλλὰ, ὦ Ζεῦ πάτερ παντελὲς,
ἄρηξον πάντως
ἄλωσιν δαίων.
Ἀργεῖοι δὲ κυκλοῦνται
πόλισμα Κάδμου·
φόβος δὲ ὅπλων ἀρήων.
Χαλινοὶ δέ τοι
διὰ γενειάδων ἱππίων
μινύρονται φόνον.
Ἑπτὰ δὲ ἀγάνορες στρατοῦ
πρέποντες
σαγαῖς δορυσσοΐς...

de s'attacher à *vos* images.
Que tardons-nous gémissant-trop?
Entendez-vous,
ou n'entendez-vous pas
un bruit de boucliers?
Quand, sinon à-présent, [plications
nous appliquerons-nous aux sup-
accompagnées de voiles
et de couronnes?
j'ai vu (j'ai saisi) un son : [lance.
c'est le bruit non d'une-seule
Que feras-tu?
Arès indigène,
trahiras-tu la terre tienne?
O dieu au-casque-d'or,
regarde, regarde la ville tienne,
qu'autrefois tu jugeas bien-chérie.
Dieux, gardiens de *cette* terre,
venez nombreux,
voyez *une* troupe de vierges
suppliante
pour *détourner* l'esclavage.
Car un flot
d'hommes au-panache-mouvant
bouillonne soulevé
par les souffles d'Arès
autour-de la ville.
Mais, ô Zeus père tout-puissant,
empêche entièrement
la prise *de la ville* par les ennemis.
Or les Argiens entourent
la ville de Cadmos ;
et peur *est à moi* des armes d'-Arès.
Et les freins certes
à travers les bouches des-chevaux
murmurent le meurtre.
Et sept braves de l'armée
distingués
par des armures de-lances...

προσίστανται πάλῳ λαχόντες.

Σύ τ', ὦ Διογενὲς φιλόμαχον κράτος, [Antistrophe 1.]
ῥυσίπολις γενοῦ, Παλλὰς, ὅ θ' ἵππιος
ποντομέδων ἄναξ
ἰχθυβόλῳ μαχανᾷ[1], Ποσειδὰν,
ἐπίλυσιν φόβων, ἐπίλυσιν δίδου.
Σύ τ', Ἄρης, φεῦ φεῦ,
ἐπώνυμον Κάδμου πόλιν
φύλαξον κήδεσαί τ' ἐναργῶς. —
Καὶ Κύπρις, ἅτε γένους προμάτωρ,
ἄλευσον· σέθεν γὰρ ἐξ αἵματος
γεγόναμεν· λιταῖσί σε θεοκλύτοις
ἀϋτοῦσαι πελαζόμεσθα. —
Καὶ σὺ, Λύκει' ἄναξ, λύκειος[2] γενοῦ
στρατῷ δαΐῳ στόνων ἀϋταῖς.
Σύ τ', ὦ Λατωΐα
κόρα, τόξοισιν εὖ τυχάζου[3].

Ἐὴ ἐὴ, [Strophe 2.]
ὄτοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω.
Ὦ πότνι' Ἥρα,
ἔλαχον ἀξόνων βριθομένων χνόαι.
Ἄρτεμι φίλα,

ment ils se dressent en leurs armures, la lance au poing, devant les sept portes, chacun en la place marquée par les dés.

Antistrophe 1. (Le Chœur se relève, et court à la statue de Pallas.) — Et toi, fille de Zeus, de tant de puissance héroïque en la mêlée, de la cité sois le boulevard, ô Pallas. (Le Chœur passe à la statue de Poseidon). — Et toi qui fis naître le cheval, souverain des mers, Poseidon, roi au trident redouté des poissons, trêve à nos terreurs, de nos terreurs délivre-nous. (Le Chœur court éperdu d'une statue à l'autre). — Oh! Arès Arès, la ville de Cadmos, garde-la. Ta sollicitude pour elle, fais-la éclater. — Cypris, de notre race la première mère, veille sur nous. De ton sang nous sommes venues, et nous voici devant toi à t'appeler en nos ferventes prières. — Et toi, fléau des loups, auguste Apollon, sois aussi le fléau de l'armée ennemie, entends nos gémissements. — Fille de la terre, de ton arc vise bien, bonne Artémis!

Strophe 2. Oh! oh! encore le fracas des chars aux approches de la ville! ô souveraine Héra! — Comme ils grincent, pressés de l'essieu, les moyeux! bonne Artémis! tant de lances

προσίστανται πύλαι,
ἑπταστόμοις
λαχόντες πάλῳ.
Σύ τε, ὦ Διογενὲς,
κράτος φιλόμαχον,
Παλλὰς, γενοῦ ῥυσίπολις.
ἄναξ τε ἵππιος
ποντομέδων
μαχανᾷ
ἰχθυβόλῳ,
Ποσειδὰν δίδου ἐπίλυσιν,
ἐπίλυσιν φόβων.
Σύ τε, Ἄρης, φεῦ φεῦ
φύλαξον πόλιν
ἐπώνυμον Κάδμου,
κήδεσαί τε ἐναργῶς.
Καὶ Κύπρις,
ἅτε προμάτωρ
γένους,
ἄλευσον·
γεγόναμεν γὰρ
ἐξ αἵματος σέθεν·
πελαζόμεσθά σε
ἀϋτοῦσαι λιταῖσι
θεοκλύτοις.
Καὶ σὺ,
ἄναξ Λύκειε,
γενοῦ Λύκειος
στρατῷ δαΐῳ
ἀϋταῖς στόνων·
σύ τε, ὦ κοῦρα
Λατωΐα,
τυχάζου εὖ τόξοισιν.
Εἰὴ εἰὴ, κλύω
ὄτοβον ἁρμάτων ἀμφὶ πόλιν,
ὦ πότνια Ἥρα·
χνόαι ἀξόνων βριθομένων
ἔλαχον.
Φίλα Ἄρτεμι,

se tiennent-auprès des portes
formant-sept-ouvertures [*dés.*
ayant-tiré-au-sort par un jet *de*
Et toi, ô fille-de-Zeus, [bats,
puissance (déesse) amie-des-com-
Pallas,sois protectrice-de-la-ville,
et *toi*, souverain équestre
régnant-sur-les-mers
avec un instrument
qui-frappe-les-poissons, [vrance,
Poseidon, donne-*nous* la déli-
la délivrance de *nos* craintes.
Et toi, Arès, hélas! hélas!
garde la ville
qui-porte-le-nom de Cadmos,
et prends-soin d'*elle* visiblement.
Et *toi*, Cypris, [mère
attendu-que *tu es* la-première-
de *notre* race,
détourne *de nous le malheur :*
car nous sommes nées
du sang de-toi :
nous nous-approchons de toi
en criant par des prières
entendues-des-dieux.
Et toi,
souverain destructeur-des-loups,
sois destructeur-des-loups,
pour l'armée ennemie [ments ;
par-suite du cri de *nos* gémisse-
et toi, ô vierge,
fille-de-Latone,
vise bien avec ton arc.
Hélas! hélas! j'entends [ville,
un bruit de chars autour de la
ô auguste Héra;
les essieux des chars chargés
ont retenti.
Chère Artémis,

δοριτίναχτα[1] δ' αἰθὴρ ἐπιμαίνεται.
Τί πόλις ἄμμι πάσχει; τί γενήσεται;
ποῖ δ' ἔτι τέλος ἐπάγει θεός;
Ἐὴ ἐή, [Antistrophe 2.]
ἀκροβόλων ἐπάλξεων λιθὰς ἔρχεται.
Ὦ φίλ' Ἄπολλον,
κόναβος ἐν πύλαις χαλκοδέτων σακέων.
Καὶ Διόθεν ὦ
πολεμόκραντον ἀγνὸν τέλος ἐν μάχᾳ,
στᾶσα, μάκαιρ' ἄνασσ' Ὄγκα[2], ὑπὲρ πόλεως
ἑπτάπυλον ἕδος ἐπιρρύου.

Ἰὼ παναρκεὶς θεοί, [Strophe 3.]
ἰὼ τέλειοι τέλειαί τε γᾶς
τᾶσδε πυργοφύλακες,
πόλιν δορίπονον μὴ προδῶθ'
ἑτεροφώνῳ στρατῷ.
Κλύετε παρθένων, κλύετε πανδίκους
χειροτόνους λιτάς.
Ἰὼ φίλοι δαίμονες, [Antistrophe 3.]
λυτήριοί τ' ἀμφιβάντες πόλιν
δείξαθ' ὡς φιλοπόλεις,
μέλεσθέ θ' ἱερῶν δημίων,
μελόμενοι δ' ἀρήξατε·
φιλοθύτων δέ τοι πόλεος ὀργίων[3]
μνήστορες ἔστε μοι.

brandies, l'air en est affolé. — Comme on te traite, pauvre patrie, quel avenir! de toi que veulent donc les dieux?

Antistrophe 2. Voici l'assaut, sur les créneaux une pluie de cailloux, ô Apollon! le fracas aux portes, le fracas des boucliers d'airain. Et toi, auguste arbitre des batailles, toi qui par la volonté de Zeus présides à la mêlée, ô reine Oncé, combats pour la ville, ta résidence aux sept portes, sois-lui un boulevard.

Strophe 3. (Le Chœur va de droite à gauche devant les statues). Toutes-puissantes divinités, dieux et déesses, tutélaires gardiens des remparts de cette terre; la ville, pour être foulée de la lance, ne la livrez pas aux soldats étrangers. Écoutez-les, les jeunes filles, écoutez-les si justement vous prier, les mains levées vers vous.

Antistrophe 3. (Le Chœur revient vers la droite.) Chers dieux, pour sa délivrance, enveloppez notre ville. Montrez combien vous l'aimez. Veillez au maintien des sacrifices publics; veillez-y et protégez-nous. Tant de victimes pures, tant de pompes pieuses en notre ville, ah! ne les oubliez pas!

αἰθὴρ δὲ ἐπιμαίνεται
δοριτίναχτα.
Τί πόλις
ἄμμι πάσχει;
τί γενήσεται;
Ποῖ δὲ ἔτι θεὸς
ἐπάγει τέλος;
Ἐὴ ἐή,
λιθὰς ἔρχεται
ἐπαλξέων ἀχροβόλων.
Ὦ φίλε Ἄπολλον,
κόναβος
σακέων χαλκοδέτων
ἐν πύλαις.
Καὶ ὦ τέλος ἀγνὸν
πολεμόκραντον Διόθεν,
μάκαιρά τε ἄνασσα ἐν μάχαισι,
Ὄγκα, ὑπὲρ πόλεως
ἐπιρρύου ἕδος ἑπτάπυλον.
Ἰὼ θεοὶ παναρκεῖς,
ἰὼ τέλειοι
τέλειαί τε
πυργοφύλακες τᾶσδε γᾶς,
μὴ προδῶτε πόλιν
δορίπονον
στρατῷ ἑτεροφώνῳ.
Κλύετε παρθένων,
κλύετε πανδίκως λιτὰς
χειροτόνους.
Ἰὼ δαίμονες φίλοι,
ἀμφιβάντες πόλιν
λυτήριοι,
δείξατε ὡς
φιλοπόλεις,
μέλεσθέ τε ἱερῶν δημίων,
μελόμενοι δὲ ἀρήξατε·
ἔστε δὲ μοί τοι
μνήστορες ὀργίων πόλεως
φιλοθύτων.

et l'air est-furieux
par-l'ébranlement-des-lances.
Qu'*est-ce que* la ville
pour nous souffre (va souffrir)?
que deviendra-t-elle?
Et où encore un dieu
mène-t-il la fin *de ceci* ?
Hélas ! hélas !
une grêle-de-pierres vient
sur les crénaux atteints-de-loin.
O cher Apollon,
un retentissement [l'airain
de boucliers attachés-avec-de-
se fait entendre aux portes.
Et *toi*, ô puissance sainte,
arbitre-de-la-guerre de-par-Zeus,
et déesse reine dans les combats,
Oncé, *combattant* pour la ville
sauve *ta* résidence aux-sept-portes.
Ah ! dieux suffisant-à-tout
ah ! parfaits
et parfaites,
gardiens-des-tours de cette terre-ci
ne livrez pas la ville
pour être dévastée-par-la-lance
à une armée de-langue-étrangère.
Écoutez des vierges, [res
écoutez en-toute-justice des prié-
qui-tendent-les-mains *vers vous*.
Ah ! dieux amis,
venant-autour-de la ville
comme libérateurs,
montrez comme *vous êtes*
amis-de-la-ville, [blics,
et prenez-soin des sacrifices pu-
et *en* prenant-soin défendez-*nous* ;
et soyez-*moi* certes [ville
vous-souvenant des fêtes de *cette*
fécondes-en-sacrifices.

III. LES SEPT COUPLES DE COMBATTANTS.

(Vers 375-455 et 568-719.)

ΑΓΓΕΛΟΣ.

Λέγοιμ' ἂν εἰδὼς εὖ τὰ τῶν ἐναντίων,
ὡς τ' ἐν πύλαις ἕκαστος εἵληχεν πάλῳ.
Τυδεὺς μὲν ἤδη πρὸς πύλαισι Προιτίσιν[1]
βρέμει, πόρον δ' Ἰσμηνὸν[2] οὐκ ἐᾷ περᾶν
ὁ μάντις[3]· οὐ γὰρ σφάγια γίγνεται καλά.
Τυδεὺς δὲ μαργῶν καὶ μάχης λελιμμένος
μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ·
θείνει δ' ὀνείδει μάντιν Οἰκλείδην σοφὸν,
σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ.
Τοιαῦτ' ἀϋτῶν τρεῖς κατασκίους λόφους
σείει, κράνους χαίτωμ', ὕπ' ἀσπίδος δὲ τῷ
χαλκήλατοι κλάζουσι κώδωνες φόβον·
ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε,
φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει,
πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμὸς, πρέπει.
Τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σαγαῖς

III

LE MESSAGER. Je dirai exactement les dispositions de l'ennemi, comment aux portes chacun des chefs a été distribué par le dé. Tydée déjà vers la porte Prœtide jette feu et flamme, devant l'Ismenos qu'il ne peut passer. Le devin ne le veut, les présages ne sont bons. Aussi Tydée ne se connaît plus, et dans son impatience d'en venir aux coups, comme un serpent sifflant au milieu du jour, il tempête, invective le devin, le docte fils d'Oïclée, qu'il accuse de faire le chien couchant devant la mort, le combat, par couardise. Dans sa rage, il secoue l'épais ombrage du triple cimier, chevelure de son casque. A son bouclier c'est un carillon d'airain, des grelots sonnant l'épouvante. Il a, sur ce bouclier, pour outrecuidante devise, un ciel ciselé, tout constellé des feux du soir, et au centre, resplendissante, la lune en son plein, la reine des astres, l'œil de la nuit. Ivre de son merveil-

III. LES SEPT COUPLES DE COMBATTANTS.

ΑΓΓΕΛΟΣ. Λέγοιμι ἂν
εἰδὼς εὖ
τὰ τῶν ἐναντίων,
ὡς τε ἕκαστος
εἵληχεν ἐν πύλαις πάλῳ.
Τυδεὺς μὲν ἤδη βρέμει
πρὸς πύλαισι Προιτίσιν,
ὁ δὲ μάντις οὐκ ἐᾷ
περᾶν πόρον Ἰσμηνόν·
σφάγια γὰρ οὐ γίγνεται καλά.
Τυδεὺς δὲ μαργῶν
καὶ λελιμμένος μάχης,
βοᾷ, ὡς δράκων
κλαγγαῖσιν μεσημβριναῖς·
θείνει δὲ ὀνείδει
σοφὸν μάντιν Οἰκλείδην,
σαίνειν
ἀψυχίᾳ
μόρον τε καὶ μάχην·
ἀϋτῶν τοιαῦτα,
σείει τρεῖς λόφους
κατασκίους,
χαίτωμα κράνους,
ὑπὸ δὲ ἀσπίδος τῷ
κώδωνες χαλκήλατοι
κλάζουσι φόβον·
ἔχει δὲ ἐπὶ ἀσπίδος
τόδε σῆμα ὑπέρφρον,
οὐρανὸν τετυγμένον
φλέγοντα ὑπὸ ἄστροις·
ἐν μέσῳ δὲ σάκει πρέπει
πανσέληνος λαμπρὰ,
πρέσβιστον ἄστρων,
ὀφθαλμὸς νυκτός.
Ἀλύων τοιαῦτα

LE MESSAGER. Je peux-dire
sachant bien
les choses des ennemis,
et comme chacun d'*eux*
est échu aux portes par le sort.
Tydée d'une part déjà frémit
près des portes Prœtides, [pas
d'autre part le devin ne *le* laisse
traverser le passage Ismenos :
car les victimes ne sont pas belles.
Or Tydée furieux,
et désirant-ardemment le combat,
crie, comme un dragon
avec des sifflements de-midi :
et il pique par un reproche
le sage devin fils-d'-Oïclée,
l'accusant de cajoler
par pusillanimité
et le destin et le combat :
criant de telles *injures*,
il agite trois aigrettes
qui-donnent-de-l'ombre,
crinière de *son* casque,
et sous le bouclier à lui
des sonnettes faites-d'airain
sonnent l'épouvante :
et il a sur *son* bouclier
cet-emblème-ci très-insolent,
un ciel travaillé
brûlant sous les astres ;
et au milieu du bouclier brille
la pleine-lune éclatante
le plus auguste des astres,
l'œil de la nuit.
S'agitant de telles *manières*

βοᾷ παρ' ὄχθαις ποταμίαις, μάχης ἐρῶν,
ἵππος χαλινῶν ὡς κατασθμαίνων μένει,
ὅστις βοὴν σάλπιγγος ὀρθίαν κλύει.
Τίν' ἀντιτάξεις τῷδε; τίς Προίτου πυλῶν
κλήθρων λυθέντων προστατεῖν φερέγγυος;

ΕΤΕΟΚΛΗΣ.

Κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγὼ,
οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα·
λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορός.
Καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος
ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν,
τάχ' ἂν γένοιτο μάντις ἀνοία τινί[1]·
εἰ γὰρ θανόντι νὺξ ἐπ' ὄμμασιν πέσοι,
τῷ τοι φέροντι σῆμ' ὑπέρκομπον τόδε
γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον,
καὐτὸς καθ' αὑτοῦ τήνδ' ὕβριν μαντεύσεται.
Ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀστακοῦ τόκον
τῶνδ' ἀντιτάξω προστάτην πυλωμάτων,
μάλ' εὐγενῆ τε καὶ τὸν αἰσχύνης θρόνον

leux équipage, il crie sur la rive du fleuve, altéré de combattre, ainsi que le cheval contre le frein haletant de fureur, qui piaffe en entendant la voix aiguë de la trompette. — Qui lui mettras-tu en face? qui donc, à la porte de Prœtos, les défenses une fois tombées, sera de force à lui faire tête?

ÉTÉOCLE. Le faste d'un soldat, voilà bien de quoi m'imposer vraiment! Vit-on jamais devise à faire des blessures, cimier ou grelot à mordre l'ennemi, sans une lance? Quant à cette nuit, que tu dis ciselée au bouclier, avec son cortège d'astres au ciel; sinistre prophétie, peut-être, de la folie! Mort, les yeux voilés de la nuit, pour celui qui l'étale, l'outrecuidante devise se trouvera pleinement justifiée, vérifiée, saisissante. Il se sera ainsi à lui-même prophétisé sa propre déconfiture. Contre Tydée, moi, j'aurai le vaillant fils d'Astacos, mon champion à la porte Prœtide, d'illustre naissance, s'il en fut, avant tout dévot à l'autel de

σαγαῖς ὑπερκόμποις,
βοᾷ παρὰ ὄχθαις ποταμίαις·
ὡς ἵππος
ἐρῶν μάχης,
κατασθμαίνων χαλινῶν
μένει,
ὅστις κλύει
βοὴν ὀρθίαν σάλπιγγος.
Τίνα ἀντιτάξεις τῷδε;
τίς φερέγγυος
προστατεῖν πυλῶν Προίτου,
κλήθρων λυθέντων;
ΕΤΕΟΚΛΗΣ. Ἐγὼ μὲν
τρέσαιμι ἂν
οὔτινα κόσμον ἀνδρὸς,
οὐδὲ τὰ σήματα γίγνεται
ἕλκοποιά·
λόφοι δὲ κώδων τε
οὐ δάκνουσιν ἄνευ δορός.
Καὶ ταύτην νύκτα
ἣν λέγεις
κυρεῖν μαρμαίρουσαν
ἄστροισιν οὐρανοῦ
ἐπὶ ἀσπίδος,
τάχα ἡ ἀνοία
γένοιτο ἂν μάντις τινί·
εἰ γὰρ νὺξ πέσοι
ἐπὶ ὄμμασιν θανόντι,
τόδε σῆμα ὑπέρκομπον,
γένοιτο ἂν ἐπώνυμον
ὀρθῶς ἐνδίκως τε
τῷ τοι φέροντι,
καὶ αὐτὸς μαντεύσεται
τήνδε ὕβριν κατὰ αὐτοῦ.
Ἐγὼ δὲ ἀντιτάξω Τυδεῖ
τόνδε προστάτην πυλωμάτων
τόχον κεδνὸν Ἀσταχοῦ,
μάλα τε εὐγενῆ,
καὶ τιμῶντα

avec *cette* armure trop-insolente,
il crie près des rives du-fleuve ;
comme un cheval
désireux du combat,
haletant-contre les freins
de fureur,
lequel *cheval* entend
le son aigu de la trompette.
Qui opposeras-tu à celui-ci ?
qui *sera* capable
de défendre les portes de Prœtos,
les barrières ayant été brisées ?
ÉTÉOCLE. Moi certes,
je *ne* saurais-craindre
aucune armure d'homme,
ni les emblèmes ne sont
faisant-des-blessures ;
puis aigrettes et sonnette
ne mordent pas sans lance.
Et *quant à* cette nuit
laquelle tu dis
se-trouver rayonnante
d'astres du ciel
sur le bouclier,
peut-être le délire
serait prophète pour quelqu'un ;
car si la nuit tombait
sur les yeux à lui mort,
cet emblème-ci trop-insolent,
deviendrait méritant-son-nom
bien et justement
pour qui certes *le* porte ;
et lui-même (Tydée) prophétisera
ce malheur-ci contre lui-même.
Mais moi j'opposerai à Tydée
ce défenseur-ci de *nos* portes
le fils prudent d'Astacos,
et très-noble
et honorant

τιμῶντα καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους·
αἰσχρῶν γὰρ ἀργὸς, μὴ κακὸς δ' εἶναι φιλεῖ.
Δίκη δ' ὁμαίμων[1] κάρτα νιν προστέλλεται
εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ·
σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο,
ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἔστ' ἐγχώριος,
Μελάνιππος· ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ.

ΧΟΡΟΣ.

Τὸν ἀμόν νυν ἀντίπαλον εὐτυχεῖν [Strophe 1.]
θεοὶ δοῖεν, ὡς διὰ δίκας πόλεως
πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρους ὑπὲρ φίλων ὀλομένων ἰδέσθαι.

ΑΓΓΕΛΟΣ

Τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοί.
Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἵληχεν πύλαις,
γίγας ὅδ' ἄλλος τοῦ πάρος λελεγμένου
μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ,
πύργοις δ' ἀπειλεῖ δεῖν', ἃ μὴ κραίνοι τύχη·

l'Honneur, dédaigneux de la jactance, des fanfarons, lent à mal faire, ne voulant être lâche. Par droit du sang, c'est à lui surtout d'écarter la lance ennemie du sein de sa mère. De ces hommes nés des dents semées par Cadmos, des héros épargnés d'Arès il est rejeton ; rien de plus Thébain que Menalippos. Quant au résultat, Arès tient les dés, il en décidera.

LE CHŒUR. *Strophe* 1. (Le Chœur gagne la gauche de l'hyposcène.) A notre champion maintenant que les dieux donnent de vaincre, au défenseur levé pour le bon droit, au défenseur de la patrie! Mais je tremble de voir, en de sanglants trépas, mes amis égorgés.

LE MESSAGER. A Menalippos, oui, que les dieux donnent de vaincre. — En second lieu, pour la porte d'Électre, le sort a désigné Capanée, autre géant, plus extraordinaire encore que le précédent. Son extravagante outrecuidance, à lui, n'est plus de l'homme. Contre nos remparts il fulmine d'horribles choses. —

τὸν θρόνον αἰσχύνης,
καὶ στυγοῦντα
λόγους ὑπέρφρονας·
ἀργὸς γὰρ
αἰσχρῶν,
μὴ φιλεῖ δὲ εἶναι κακός.
Δίκη δὲ ὁμαίμων
προστέλλεταί νιν κάρτα
εἴργειν δόρυ πολέμιον
μητρὶ τεκούσῃ·
ἀνεῖται δὲ ῥίζωμα
ἀπὸ ἀνδρῶν σπαρτῶν,
ὧν Ἄρης ἐφείσατο,
ἔστι δὲ κάρτα ἐγχώριος,
Μελάνιππος·
Ἄρης δὰ
κρινεῖ ἔργον ἐν κύβοις.
ΧΟΡΟΣ. Θεοὶ
δοῖέν νυν
τὸν ἁμὸν ἀντίπαλον εὐτυχεῖν,
ὡς ὄρνυται διὰ δίκας
πρόμαχος πόλεως·
τρέμω δὲ
ἰδέσθαι μόρους αἱματηφόρους,
ὀλομένων
ὑπὲρ φίλων.
ΑΓΓΕΛΟΣ. Θεοὶ μὲν
δοῖεν τούτῳ
εὐτυχεῖν οὕτως.
Καναπεὺς δὲ
εἴληχεν
ἐπὶ πύλαις Ἠλέκτραισιν·
ὅδε ἄλλος γίγας μείζων
τοῦ λελεγμένου πάρος,
ὁ κόμπος δὲ οὐ φρονεῖ
κατὰ ἄνθρωπον,
ἀπειλεῖ δὲ πύργοις
δεινά,
ἃ Τύχη μὴ κραίνοι·

le trône de la pudeur,
et haïssant
les discours insolents ;
car *il est* incapable
de choses honteuses,
et il n'a-pas-coutume d'être lâche.
D'ailleurs le droit de-consanguinité
envoie lui certainement
pour repousser la lance ennemie
pour (de) la mère qui *l'*a enfanté ;
puis il tire *son* origine
des hommes semés *par Cadmos*,
lesquels Arès épargna,
et il est bien indigène,
c'est Mélanippe ;
mais Arès
décidera l'affaire avec les dés.
LE CHŒUR. Que les dieux
accordent donc
notre champion réussir,
comme il s'élance avec justice
défenseur de la ville !
mais je tremble
de voir *les* destins sanglants
de *ceux* qui périssent
pour leurs amis.
LE MESSAGER. Que les dieux
accordent à celui-ci
de réussir ainsi !
d'autre part Capanée
est échu
aux portes d'-Électre :
cet autre *est* un géant plus grand
que celui qui a été dit auparavant
et *sa* jactance ne raisonne pas
conformément à l'homme,
et il menace *ces* tours
de choses terribles,
que la fortune n'accomplisse pas !

θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
καὶ μὴ θέλοντός φησιν, οὐδὲ τὰν Διὸς
ἔριν πέδοι σκήψασαν ἐμποδὼν σχεθεῖν·
τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς
μεσημβρινοῖσι θάλπεσιν προσήκασεν.
Ἔχει δὲ σῆμα γυμνὸν ἄνδρα πυρφόρον,
φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη·
χρυσοῖς δὲ φωνεῖ γράμμασιν « πρήσω πόλιν ».
Τοιῷδε φωτὶ φράζε τίς ξυστήσεται,
τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;

ΕΤΕΟΚΛΗΣ.

Καὶ τῷδε κόμπῳ κέρδος ἄλλο τίκτεται[1].
Τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων
ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος.
Καπανεὺς δ' ἀπειλεῖν ἄρα παρεσκευασμένος,
θεοὺς ἀτίζων κἀπογυμνάζων στόμα
χαρᾷ ματαίᾳ θνητὸς ὢν εἰς οὐρανὸν
πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη.
Πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
ἥξειν κεραυνὸν, οὐδὲν ἐξῃκασμένον
μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.

Le destin ne les réalisera pas, je l'espère. — Que les dieux y donnent les mains, il mettra la ville sens dessus dessous. Qu'ils ne le veuillent, il passera outre, dit-il, et les colères de Zeus foudroyant la plaine ne sont pas pour l'embarrasser. Les éclairs, le tonnerre sillonnant la nue, à ses yeux, ne sont que rayons du midi dardés d'aplomb sur la terre. Il a aussi une devise, un homme nu, un pyrophore, avec une torche enflammée dans la main, qui crie ces mots en lettres d'or : *J'incendierai la ville.* — Pour celui-ci aussi il te faut un champion. Mais qui voudra se mesurer avec lui, qui osera de pied ferme affronter cette farouche forfanterie?

ÉTÉOCLE. Cette forfanterie sera pour nous un autre avantage. D'abord les folies du cœur, notre langue fidèlement les traduit, les révèle. Or Capanée menace, prêt à agir, blasphème les dieux, plus de frein à sa parole. Dans le dévergondage de son ivresse, quoique mortel, jusqu'au ciel il crie, pousse à Zeus le flot de ses invectives. Donc, je n'en fais doute, sur sa tête descendra le pyrophore de la vengeance, le tonnerre, en vérité, si loin de rappeler les rayons du soleil en son midi. — Et puis,

φησὶ γὰρ ἐκπέρσειν πόλιν,
θεοῦ θέλοντός τε
καὶ μὴ θέλοντος,
οὐδὲ τὴν ἔριν Διὸς
σκήψασαν πέδοι
ἐμποδὼν
σχέθειν·
προσῆκασεν δὲ τὰς ἀστραπάς τε
καὶ βολὰς κεραυνίους
θάλπεσι μεσημβρινοῖσιν.
Ἔχει δὲ σῆμα
ἄνδρα γυμνὸν πυρφόρον,
λαμπὰς δὲ φλέγει
ὡπλισμένη
διὰ χερῶν·
φωνεῖ δὲ γράμμασιν χρυσοῖς,
« πρήσω πόλιν. »
Φράζε τίς ξυστήσεται
φωτὶ τοιῷδε,
τίς μενεῖ μὴ τρέσας
ἄνδρα κομπάζοντα;
ΕΤΕΟΚΛΗΣ. Καὶ τῷδε κόμπῳ
ἄλλο κέρδος τίκτεται.
Ἡ γλῶσσά τοι γίγνεται
κατήγορος ἀληθὴς
φρονημάτων ματαίων ἀνδράσιν.
Καπανεὺς δὲ ἄρα
παρεσκευασμένος ἀπειλεῖν,
ἀτίζων θεοὺς
καὶ ἀπογυμνάζων στόμα
χαρᾷ ματαίᾳ,
ὢν θνητὸς,
πέμπει ἐς οὐρανὸν
ἔπη κυμαίνοντα
γεγωνὰ Ζηνί.
Πέποιθα δὲ
τὸν κεραυνὸν πυρφόρον
ἥξειν αὐτῷ ξὺν δίκῃ,
οὐδὲν ἐξῃκασμένον

car il dit devoir détruire la ville,
un dieu et le voulant
et (ou) ne *le* voulant pas,
et pas-même la colère de Zeus
s'étant-abattue sur le sol
devant-ses-pieds
ne le retenir ;
et il a assimilé et les éclairs
et les jets de-la-foudre
à des chaleurs de-midi.
Et il a *pour* emblème
un homme nu portant-du-feu,
et un flambeau brûle
placé-comme-une-arme
dans les mains *de cet homme ;*
et il dit en lettres d'-or,
« je brûlerai à la ville. »
Dis qui tiendra-tête
à un mortel tel,
qui attendra n'ayant pas tremblé
cet homme plein-de-jactance ?
ÉTÉOCLE. Et par cette jactance-ci
un autre avantage est enfanté.
La langue certes est
l'accusatrice vraie [mes.
des pensées vaines aux (des) hom-
Or Capanée donc,
disposé à menacer,
méprisant les dieux
et exerçant *sa* bouche
avec une joie vaine,
étant mortel,
envoie vers le ciel
des paroles bouillonnantes
entendues de Zeus.
Mais j'ai-confiance
la foudre embrasée
devoir venir sur lui avec justice,
n'étant en-rien semblable

Ἀνὴρ δ' ἐπ' αὐτῷ, κεἰ στόμαργός ἐστ' ἄγαν,
αἴθων τέτακται λῆμα, Πολυφόντου βία,
φερέγγυον φρούρημα, προστατηρίας
Ἀρτέμιδος εὐνοίαισι σύν τ' ἄλλοις θεοῖς.
Λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.

CHŒUR.

Ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται, [Antistrophe 1.]
κεραυνοῦ δέ νιν βέλος ἐπισχέθοι,
πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν [1] θ'
ἑδωλίων ὑπερκόπῳ δορί ποτ' ἐκλαπάξαι [2].

. . . . . .

. . . . . .

LE MESSAGER.

Ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστατον
ἀλκήν τ' ἄριστον, μάντιν Ἀμφιάρεω βίαν.
Ὁμολωΐσιν [3] δὲ πρὸς πύλαις τεταγμένος
κακοῖσι βάζει πολλὰ Τυδέως βίαν [4],
τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον,
Ἐρινύος κλητῆρα, πρόσπολον φόνου,
κακῶν τ' Ἀδράστῳ τῶνδε βουλευτήριον·

autre chance, à cet homme si insolent, j'ai à mettre en face un adversaire de bouillante et énergique résolution, le vigoureux Polyphonte, une héroïque défense assurément, devant qui marchent, puissantes égides, et Artémis sa protectrice, et tous les autres dieux. — Nomme-moi l'assaillant désigné pour la troisième porte.

LE CHŒUR. *Antistrophe* 1. (Le Chœur se met en marche vers la droite.) Mort à qui sur Thèbes appelle les désastres! De la foudre que la pointe le tienne, avant qu'en nos foyers il se soit rué, que de sa lance hautaine, il nous ait chassées de nos demeures virginales. . . . . .

. . . . . .

LE MESSAGER. Au sixième j'en viens maintenant, un homme de grande sagesse, de grande vaillance, un devin, à l'héroïque Amphiaraos. Pour la porte Homoloïde il a été désigné. Il jette feu et flamme contre le farouche Tydée, un assassin, dit-il, perturbateur de sa patrie, dans Argos merveilleux docteur en calamités, d'Erinys l'évocateur, le ministre du meurtre, et le fatal conseiller d'Adraste.

.τοῖς θάλπεσι μεσημβρινοῖσιν	aux chaleurs de-midi
ἡλίου.	du soleil.
Ἐπὶ αὐτῷ δὲ,	Or contre lui,
καὶ εἴ ἐστιν ἄγαν στόμαργος,	quoiqu'il soit trop fanfaron,
τέταχται ἀνὴρ	a été placé un homme
αἴθων λῆμα	ardent par le courage,
βία Πολυφόντου,	la force de Polyphonte,
φρούρημα φερέγγυον,	garde suffisante,
εὐνοίαισιν Ἀρτέμιδος	*avec* la bienveillance d'Artémis
προστατηρίας,	protectrice,
σύν τε ἄλλοις θεοῖς.	et avec les autres dieux.
Λέγε ἄλλον εἰληχότα	Dis un autre échu
ἐν ἄλλαις πύλαις.	à une autre porte.
ΧΟΡΟΣ. Ὄλοιτο	LE CHŒUR. Périsse [cations
ὃς ἐπεύχεται μεγάλα	*celui* qui fait-de-grandes-impré-
πόλει,	contre la ville,
βέλος δὲ κεραυνοῦ	et que le trait de la foudre
ἐπισχέθοι νιν,	arrête lui,
πρὶν ἐσθορεῖν ἐμὸν δόμον,	avant *lui* s'élancer dans ma maison,
ἐκλαπάξαι τέ ποτε	et *m'*arracher enfin
ἑδωλίων πωλικῶν	des sièges virginaux
δορὶ ὑπερκόπῳ.	avec la lance insolente !
. . . . .	. . . . .
. . . . .	. . . . .
ΑΓΓΕΛΟΣ. Λέγοιμι ἂν	LE MESSAGER. Je peux-dire
ἕκτον ἄνδρα σωφρονέστατον,	le sixième homme très sage,
ἄριστόν τε ἀλκὴν,	et très-bon-en vaillance,
βίαν Ἀμφιάρεω μάντιν.	la force d'Amphiaraos devin.
Τεταγμένος δὲ	Or ayant été placé
πρὸς πύλαις Ὁμολωΐσιν,	à la porte Homoloïde,
βάζει πολλὰ	il adresse *des paroles* nombreuses
κακοῖσι	avec des injures
βίαν Τυδέως, τὸν ἀνδροφόντην,	à la force de Tydée, l'homicide,
τὸν ταράκτορα πόλεως;	le perturbateur de la ville,
μέγιστον διδάσκαλον	le plus grand maître
τῶν κακῶν Ἄργει,	des maux pour Argos,
κλητῆρα Ἐρινύος,	évocateur d'Erinys,
πρόσπολον φόνου;	ministre du meurtre;
βουλευτήριόν τε	et conseiller

καὶ τὸν σὸν αὖθις[1]. . . ὁμόσπορον,
ἐξυπτιάζων ὄμμα, Πολυνείκους βίαν,
δίς τ' ἀντὶ λύμης τοὔνομ' ἐνδατούμενος[2],
καλεῖ· λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα·
Ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλὲς,
καλόν τ' ἀκοῦσαι καὶ λέγειν μεθυστέροις,
πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
πορθεῖν, στράτευμ' ἐπακτὸν ἐμβεβληκότα.
Μητρός τε πληγὴν τίς κατασβέσει δίκη;
πατρίς τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ
ἁλοῦσα πῶς σοι ξύμμαχος γενήσεται;
Ἔγωγε μὲν δὴ τόνδε πιανῶ γύην,
μάντις κεκευθὼς[3] πολεμίας ὑπὸ χθονός.
Μαχώμεθ', οὐκ ἄτιμον ἐλπίζω μόρον. »
Τοιαῦθ' ὁ μάντις ἀσπίδ' εὔκυκλον νέμων
πάγχαλκον ηὔδα· σῆμα δ' οὐκ ἐπῆν κύκλῳ.
Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει,

Puis se retournant vers ton triste frère, l'œil hagard, il lui lance deux fois son nom en guise d'injure, amère ironie : « Belle besogne, vraiment, dit-il, des dieux agréée, mémorable et bonne à livrer à nos descendants ! Mettre à sac la ville de ses pères, les dieux de la patrie, guider soi-même l'invasion étrangère? — ng d'une mère, comment l'expier? Et tu voudrais que ta patrie, cette terre par tes convoitises jetée en proie à la lance ennemie, à toi se ralliât, s'armât pour toi! Moi, ce sol, je l'engraisserai, devin recouvert de la terre étrangère. Marchons, ma mort, je l'espère, ne sera pas sans honneur. » — Ainsi tonne le devin, en poussant devant lui son bouclier, merveilleuse sphère toute d'airain. Mais d'emblème, il n'en est point au centre. Paraître le premier, que lui importe? il veut l'être. Aux pro-

τῶνδε κακῶν Ἀδράστῳ·
καὶ αὖθις...
τὸν σὸν ὁμόσπορον
βίαν Πολυνείκους,
ἐξυπτιάζων ὄμμα,
ἐνδατούμενός τε δὶς τὸ ὄνομα
ἀντὶ λύμης,
καλεῖ·
λέγει δὲ τοῦτο ἔπος
διὰ στόμα·
« Ἦ τοῖον ἔργον
καὶ προσφιλὲς θεοῖσι
καλόν τε μεθυστέροις
ἀκοῦσαι καὶ λέγειν,
ἐμβεβληκότα
στράτευμα ἐπακτὸν,
πορθεῖν πόλιν πατρῴαν
καὶ τοὺς θεοὺς ἐγγενεῖς.
Τίς δὲ δίκη κατασβέσει
πληγὴν μητρός;
Γαῖα δὲ πατρὶς,
ἁλοῦσα δορὶ
ὑπὸ σῆς σπουδῆς,
πῶς γενήσεται
ξύμμαχός σοι;
Ἔγωγε μὲν δὴ
πιανῶ τόνδε γύην,
μάντις κεκευθὼς
ὑπὸ χθονὸς πολεμίας.
Μαχώμεθα,
ἐλπίζω μόρον
οὐκ ἄτιμον. »
Ὁ μάντις
νέμων ἀσπίδα εὔκυκλον
πάγχαλκον,
ηὔδα τοιαῦτα·
σῆμα δὲ οὐκ ἐπῆν
κύκλῳ.
Θέλει γὰρ οὐ δοκεῖν,

de ces maux-ci pour Adraste :
et ensuite...
à ton frère,
la force de Polynice, [sourcils)
reversant *son* regard (fronçant les
et lançant deux-fois son nom
en-guise d'injure,
il *l'*appelle ;
et il dit ces paroles
par *sa* bouche :
« Certes une telle action
sera et agréable aux dieux,
et belle pour les descendants
à entendre et à dire,
toi ayant amené
une armée étrangère,
ravager la ville de-tes-pères
et les dieux indigènes.
Mais quelle vengeance éteindra
le coup d'une (porté à une) mère?
Et la terre *ta* patrie,
étant prise par la lance
grâce-à ton zèle,
comment deviendra-t-elle
alliée à toi ?
Pour-moi du moins certes
j'engraisserai ce sillon-ci,
devin caché (enseveli)
sous une terre ennemie.
Combattons,
j'espère un destin
non sans-honneur. »
Le devin,
agitant un bouclier bien-rond
tout-d'airain,
disait de telles *paroles ;*
mais un emblème n'était-pas-sur
le cercle *du bouclier.*
Car il veut non pas paraître,

βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.
Τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας
πέμπειν ἐπαινῶ. Δεινὸς ὃς θεοὺς σέβει.

ΕΤΕΟΚΛΗΣ.

Φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς
δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις.
Ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
κάκιον οὐδέν, καρπὸς οὐ κομιστέος·
ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται.
Ἧι γὰρ ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ
ναύταισι θερμοῖς ἐν πανουργίᾳ τινὶ
ὄλωλεν ἀνδρῶν σὺν θεοπτύστῳ γένει,
ἢ ξὺν πολίταις ἀνδράσιν δίκαιος ὢν
ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσιν
ταὐτοῦ κυρήσας ἐνδίκως ἀγρεύματος,
πληγεὶς θεοῦ μαστιγι παγκοίνῳ 'δάμη.
Οὕτως δ' ὁ μάντις, υἱὸν Οἰκλέους λέγω,
σώφρων δίκαιος ἀγαθὸς εὐσεβὴς ἀνὴρ,
μέγας προφήτης, ἀνοσίοισι συμμιγεὶς

fonds sillons de son âme il fait sa moisson, aux sillons féconds en nobles pensées. Pour un tel adversaire, il te faudra de sages, d'intrépides champions, à mon avis du moins. C'est être bien fort que de craindre les dieux.

ÉTÉOCLE. Triste fatalité, hélas! qui d'un juste fait un complice à ces pervers. — En toute chose, rien de plus malheureux que de frayer avec les méchants. — Quel fruit en retirer? Moisson d'Até, on y recueille la mort! Pour monter au même navire, mêlé à un équipage violent et sans frein, cohue prête à tout, un cœur pieux se voue à la mort avec cette engeance vomie des dieux. Parmi ses concitoyens, gens de farouche hospitalité, sans souci des dieux, le juste est confondu. Sans l'avoir mérité, il tombe avec eux au même filet. Flagellé du fouet du dieu, il périt comme tout le monde. — Aussi ce devin, ce fils d'Oïclée, un sage, un juste, un vaillant, un cœur pieux, un grand prophète, jeté, malgré ses répugnances, aux rangs de ces impies,

ἀλλὰ εἶναι ἄριστος,
καρπούμενος διὰ φρενὸς
ἄλοκα βαθεῖαν,
ἐξ ἧς τὰ κεδνὰ βουλεύματα
βλαστάνει.
Ἐπαινῶ
πέμπειν τούτῳ ἀντηρέτας
σοφούς τε καὶ ἀγαθούς.
Ὃς σέβει θεοὺς δεινός.
ΕΤΕΟΚΛΗΣ. Φεῦ
τοῦ ὄρνιθος
ξυναλλάσσοντος ἄνδρα δίκαιον
τοῖσι βροτοῖς δυσσεβεστέροις.
Ἐν παντὶ δὲ πράγει
οὐδέν ἐστι κάκιον
ὁμιλίας κακῆς,
καρπὸς οὐ κομιστέος·
ἄρουρα ἄτης
ἐκκαρπίζεται θάνατον.
Ἡ γὰρ ἀνὴρ εὐσεβὴς
ξυνεισβὰς πλοῖον ναύταισι
θερμοῖς
ἔν τινι πανουργίᾳ
ὄλωλεν σὺν γένει ἀνδρῶν
θεοπτύστῳ·
ἢ ὢν δίκαιος
ξὺν πολίταις
ἀνδράσιν ἐχθροξένοις τε
καὶ ἀμνήμοσι θεῶν
κυρήσας ἐνδίκως
τοῦ αὐτοῦ ἀγρεύματος,
πληγεὶς μάστιγι θεοῦ
παγκοίνῳ
ἐδάμη.
Οὕτως δὲ ὁ μάντις,
λέγω υἱὸν Οἰκλέους,
ἀνὴρ σώφρων δίκαιος
ἀγαθὸς εὐσεβὴς,
μέγας προφήτης,

mais être très-brave,
faisant-fructifier dans *son* esprit
un sillon profond,
duquel les sages résolutions
germent.
Je *te* conseille
d'envoyer à celui-ci des adversaires
et sages et braves.
Qui révère les dieux *est* terrible.
ÉTÉOCLE. Hélas !
à cause de l'oiseau (du présage)
qui unit un homme juste
aux mortels plus impies !
Or en toute affaire
rien n'est pire
qu'une société mauvaise,
fruit n'*en* est pas à-retirer ;
le champ du crime
donne-pour-fruit la mort.
Car ou un homme pieux,
monté sur un navire avec des mate-
chaudement-appliqués [lots
à quelque méchanceté
périt avec une race d'hommes
rejetée-des-dieux ;
ou étant juste,
au-milieu-de concitoyens
hommes et inhospitaliers
et oublieux des dieux
ayant éprouvé avec-justice
la même capture,
frappé par la verge d'un dieu
commune-à-tous
il a été dompté.
Or ainsi ce devin-là,
je dis le fils d'Oïclée.
homme sage, juste,
brave, pieux,
grand prophète,

θρασυστόμοισιν ἀνδράσιν βίᾳ φρενῶν
τείνουσι πομπὴν τὴν μακρὰν πάλιν μολεῖν
Διὸς θέλοντος συγκαθελκυσθήσεται.
Δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις,
οὐχ ὡς ἄθυμον οὐδὲ λήματος κάκῃ,
ἀλλ' οἶδεν ὡς σφε χρὴ τελευτῆσαι μάχῃ,
εἰ καρπός ἐστι θεσφάτοισι Λοξίου·
ὅμως δ' ἐπ' αὐτῷ φῶτα, Λασθένους βίαν,
ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν,
γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν φύει,
φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια [1].
ποδῶκες οἶμα [2], χεῖρα δ' οὐ βραδύνεται
παρ' ἀσπίδος γυμνωθὲν ἁρπάσαι δόρυ.
Θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς.

ΧΟΡΟΣ.

Κλύοντες θεοὶ δικαίας λιτὰς [Antistrophe 2.]
ἡμετέρας τελεῖθ', ὡς πόλις εὐτυχῇ,
δορίπονα κάκ' ἐκτρέπον-
τες εἰς ἐπιμόλους· πύργων δ' ἔκτοθεν
βαλὼν Ζεύς σφε κάνοι κεραυνῷ.

